Κελαιναὶ δ' οὖν Ἐρινύες χρόνῳ τυχηρὸν ὄντ' ἄνευ
δίκας παλιντυχεῖ τριβᾷ βίου
Τιθεῖσ' ἀμαυρὸν, ἐν δ' ἀΐστοις τελέθοντος οὔτις ἀλκά.
Τὸ δ' ὑπερκότως κλύειν εὖ
Βαρύ· βάλλεται γὰρ ὄσσοις Διόθεν κεραυνός.
Κρίνω δ' ἄφθονον ὄλβον·
Μήτ' εἴην πτολιπόρθης, μήτ' οὖν αὐτὸς ἁλοὺς ὑπ' ἄλ-
λων βίον κατίδοιμι.
Πυρὸς δ' ὑπ' εὐαγγέλου πόλιν διήκει θοὰ ἐπῳδ.
Βάξις· εἰ δ' ἐτήτυμος,
Τίς οἶδεν; ἤ τοι θεῖόν ἐστι μὴ ψύθος;
Τίς ὧδε παιδνὸς ἢ φρενῶν κεκομμένος,
Φλογὸς παραγγέλμασιν νέοις πυρωθέντα καρδίαν, ἔπειτ'
Ἀλλαγᾷ λόγου καμεῖν;
Γυναικὸς αἰχμᾷ πρέπει πρὸ τοῦ φανέντος χάριν
ξυναινέσαι.
Πιθανὸς ἄγαν ὁ θῆλυς ὅρος ἐπινέμεται
Ταχύπορος. ἀλλὰ ταχύμορον γυναικοκή-
ρυκτον ὄλλυται κλέος.

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

Τάχ' εἰσόμεσθα λαμπάδων φαεσφόρων
Φρυκτωριῶν τε καὶ πυρὸς παραλλαγὰς
Εἴτ' οὖν ἀληθεῖς, εἴτ' ὀνειράτων δίκην
Τερπνὸν τόδ' ἐλθὸν φῶς ἐφήλωσε φρένας.
Κήρυκ' ἀπ' ἀκτῆς τόνδ' ὁρῶ κατάσκιον
Κλάδοις ἐλαίας· μαρτυρεῖ δέ μοι κάσις
Πηλοῦ ξύνουρος διψία κόνις τάδε,
Ὡς οὔτ' ἄναυδος οὔτε σοι δαίων φλόγα
Ὕλης ὀρείας σημανεῖ καπνῷ πυρός.
Ἀλλ' ἢ τὸ χαίρειν μᾶλλον ἐκβάξει λέγων· — — —
Τὸν ἀντίον δὲ τοῖσδ' ἀποστέργω λόγον·
Εὖ γὰρ πρὸς εὖ φανεῖσι προσθήκη πέλοι.

---

366. ἀπόσκοποι 367. MSS. παλιντυχῆ (—τυχῆ) 369. f. ὅσσαις 371. μήδ' 372. τὴν πόλιν 373. v. ἐτητύμως 374. v. ἤτοι — v. ψύθος. 376. (ἔπειθ' — ἀλλαδὴ) — λόγους 378. v. ἐν γυν. αἰχμᾷ, — f. ἀκμᾷ 380. γυναικογήρυτον 381. fort. ΧΟΡ. — εἰσόμεθα 388. f. τοι